Illuſtriſsimo & Excellentiſsimo

D. FRANCISCO MOLINO

GENERALI PRAEFECTO
ET INQVISITORI
REGNI CRETAE

NICOLAVS CARYOPHILVS
OFFERT.

Moly erat antidotum Moline ad pocula Circes,
Poſt mala Moly nouum te ſibi Creta vocat.





ROMAE,
Apud Iacobum Maſcardum. M. DC. XXX.

SVPERIORVM PERMISSV.





Ἀναθάλλει τὰ παλαιὰ τῆς βασιλικωτάτης Κρήτης αὐχήματα. καὶ ἃ μύθους οἱ πολλοὶ διὰ τὸ δυσάπιστον ὑπειλήφασιν, σοῦ γε τὴν ἀνθυπάτου διέποντος ἀρχὴν κράτιστε Φραγκίσκε Μωλῖνε, παρ' οὐδὲν ἀληθοῦς ἱστορίας μειονεκτοῦντα πιστεύεται. Ἕλληνας ἀνθρώπων μάλιστα εὐνομουμένους πάλαι ἀκηκόαμεν, ὡς καὶ παιδείας ἐραστὰς, καὶ νόμων ἐφευρετὰς, καὶ τῆς πολιτικῆς εὐδαιμονίας καθηγητάς. Ἑλλήνων δὲ ἴσμεν θαυμαζομένους μάλιστα πάντων τοὺς Σπαρτιάτας, ἐφ' ὅσον τοῖς Λυκούργου νόμοις ἐχρήσαντο. Λυκοῦργος δὲ πρῶτον μὲν εἰς Κρήτην ἀφίκετο, καὶ τὴν ἐκεῖ πολιτείαν κατανοήσας μαθητὴς ἐγένετο καὶ ζηλωτὴς τῆς Κρητικῆς εὐνομίας. ἐκεῖ γὰρ καὶ Μίνωες καὶ Ῥαδαμάνθεις οἱ ἐν ᾅδου δικασταὶ, καὶ οἱ χάλκεοι περιοδευταὶ καὶ ἐπίσκοποι τῆς περιφήμου βασιλίδος τῶν νήσων. δοκεῖ γὰρ ἡ νῆσος κατὰ τὸν κορυφαῖον τῶν ἐκ περιπάτου πεφυκέναι πρὸς τὴν ἀρχὴν τὴν ἑλληνικὴν, ἅτε δὴ καὶ τῆς παρ' Ἕλλησι μυθολογουμένης θεο-

γο-



Euirescunt antiquitatis Creticæ gloriosa præconia, & quæ multi fabulas putant vt planè incredibilia, te Cretæ Proconsule Inclyte Francisce Moline, verissimis historijs nihil inferiora experiuntur. In vniuerso mortalium genere Græcos olim optimis legibus vixisse legimus; quippe vt disciplinarum studiosos, legum inuentores, & felicitatis politicæ præceptores. Inter Græcos autem excelluisse Spartanos, quamdiu Lycurgi legibus vsi sunt. ipsum verò Lycurgum nauigasse in Cretam, vt primum inde regendi artem hauriret: ac proinde discipulum & imitatorem extitisse disciplinæ Cretensium. Creta enim iustitiæ nomine Minoas,& Rhadamanthos vel ipsis inferis iudices dedit. Creta ferreos habuit iustitiæ legumque seruandarū causa circumspectores. Quippe Insularum reginā regijs decebat fulgere priuilegijs; quam Peripateticorum Princeps à Natura positam ait ad imperium Græciæ; quod & Deorum

Principes in ea ortos narrent, hominumque in Deos receptorum extiterit altrix & tumulus. & si Deorum parens fuit & altrix, hominum quoque fatendum est fuisse feracem procreatricem ingenioſorum, ad dicendum agendumque peritiſsimorum, ad excogitandum aptiſſimorum, & ad reſponſa prompte reddenda paratiſsimorum. Hinc enim ortũ immerito illud Adagium, quod mẽdaciloquos vocat Cretenſes. nam perſpicacitas mentis, qua illi pollent, nõ falſidicos Cretenſes, ſed illos arguit mendacij, qui vim & excellentiam naturæ in calumniam primi verterunt. ergo quæ tot prærogatiuis eminebat, ſui quoque iuris per multa tempora floruit; dominabaturque alijs, & nulli famulabatur: donec vocante vniuerſum orbem Dei conſilio in vnam pacis ſocietatẽ, & multifidos Principatus redigente in Monarchiæ concordiã, libertas etiam Cretica Romano ceſſit Imperio. nec dici poteſt, quantum roboris & neruorum acceſſerit Romanæ militiæ ſagittariorum Cretenſium manu. Quando autem abiecto Deorum inanium cultu pietatem amplexa eſt, non vnum è multis habuit Creta magiſtrum, ſed ſummum illum veritatis præconem Paulum, in quo Chriſtus loquebatur, è cuius ore manabant doctrinæ cæle-

γονὰς αὐτὴ παρασχοῦσα τὰς ἀρχὰς, καὶ τροφὸς γενομένη καὶ τάφος τῶν θεοποιηθέντων ἀνδρῶν. εὔδηλον δὲ, ὡς τῶν Θεῶν ἡ μήτηρ καὶ τροφὸς ἤνεγκε καὶ ἄνδρας ἀπαραμίλλους, εἰπεῖν τε ἱκανωτάτους, καὶ πρᾶξαι δραστικωτάτους, μύθων εὑρετικωτάτους, καὶ πρὸς τὰς ἀπαντήσεις εὐπορωτάτους. Κἀντεῦθεν τὸ ᾀδόμενον ἐκεῖνο περιηχήθη ψευδὲς, τὸ ψευδολογίαν ἐπινέμον τοῖς Ἐτεόκρησιν. οὐ γὰρ ψεῦσαι διὰ τὸ αἰσχύνην καὶ ποικιλόμυθοι οἱ Κρῆτες, ἀλλὰ φιλοψευδεῖς οἱ φθόνῳ τὸ προτέρημα τῆς φύσεως ἀνέκαθεν εἰς διαβολὴν ἐπαμείψαντες. οὕτω δὴ τὴν πολλῶν γέμουσαν θαυμάτων καὶ αὐτονομίᾳ ἐπὶ πλεῖστον ἐκόσμησε, καὶ ὑπερέχειν τῶν ἄλλων, οὐ τὸν αὐχένα τοῖς ἄλλοις ὑπέχειν ἠνάγκασεν. ἐπεὶ δὲ οἰκονομοῦντος τοῦ Θεοῦ τὴν παγκόσμιον εἰρήνην εἰς μοναρχίαν ἤδη συνήχθη τῆς οἰκουμένης τὰ πέρατα, τότε δὴ τότε ἡ ἑκατόμπολις Κρήτη τῶν ῥωμαϊκῶν σκήπτρων ὑπέδυ τὸ κράτος. καὶ οὐκ ἔνι εἰπεῖν, ὁπόσην ῥώμης ἐπίδοσιν ἡ παμβασιλὶς προσεκτήσατο ἡ Ῥώμη προστεθείσης αὐτῇ τῆς τοξοφορικῆς τῶν Κρητῶν παρατάξεως. ὅτε δὲ καὶ τὴν ἀθεΐαν ἀποβαλοῦσα τὸ τῆς εὐσεβείας προσεδέξατο φῶς, οὐ διὰ τοῦ τυχόντος τὴν θεογνωσίαν ἐπλούτησεν, ἀλλὰ Παῦλον ἔχειν μυσταγωγοῦντα, Παῦλον τοῦ Χριστοῦ τὸ

στό-

στόμα, τὸν ὑπερουράνιον κήρυκα, ὑφ' οὗ καὶ Τίτος ἡμῖν ἀποστολικὸς ποιμενάρχης κεχειροτόνηται, καὶ ἄπειρος μαρτύρων καὶ ὁσίων ἀνδρῶν χορὸς τῷ παραδείσῳ τῆς ἐκκλησίας ἐνεβλάστησεν. Ἀλλὰ ταῦτα μὲν τῆς ἀρχαίας εὐμοιρίας σεμνολογήματα. τίς δ' ἂν λόγος παραστῆσαι, ὅσην ἀπὸ τῆς θεοῦ προνοίας τιμήν, προφυλακήν, καὶ θεοφρούρητον σκέπην ἐκληρώσατο ἡ περιώνυμος Κρήτη παρὰ τὴν λοιπὴν τῆς Ἑλλάδος περιχωρίαν; τὴν γὰρ θαυμασίαν ὁ Θεός, ὁ στερεώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὁ βασιλείας ἐγείρων, καὶ στεφηφορίας διανέμων, καὶ τὰ μὴ ὄντα ὡς ὄντα καλῶν ἤγειρε πόλιν τῷ παραδείσῳ ἐφάμιλλον. πλὴν ὅσον ἐκεῖνος χερσαῖος ἦν, καὶ κόσμῳ τῷ ξυφηλοτάτῳ κατάφυτος, ἡ δὲ ὑπερφυὴς τῶν Ἐνετῶν πόλις καὶ ὡς ἐφύδατος ἐπιπλεῖ, καὶ πέπηγεν ὡς ἐπὶ ξηρᾶς· καὶ ὡς πελαγία θαλασσοκρατεῖ, καὶ ὡς θεόφυτος τῆς ἠπείρου σκηπτουχεῖ. ταύτης θαυμαζέτωσαν τὰ περιφανέστατα καὶ οὐρανομήκη καλλωπίσματα ὅσοις ἐπήκοα τὰ φήμῃ μόνῃ θρυλλούμενα ἑπτὰ θαύματα. θαυμαζέτωσαν τὸ ἀήθες καὶ ὑπερφυὲς τῆς θέσεως, τὸ μέγεθος, τὸ κάλλος, τῶν οἰκοδομῶν τὴν λαμπρότητα, τὰς στοάς, τοὺς ἐμβόλους, τὸ περιελιττόμενον ὕδωρ τῇ πόλει, τὸ ἐν γεφύραις

cæleſtis oracula, ſacris habuit initiantem. Ille nobis Titum Archipræſulem conſecrauit; illius cultura factum, vt innumeræ Martyrum Sanctorumque fruges in Paradiſo Eccleſiæ pullularēt. cęterum hæc ſunt antiquæ monumenta felicitatis. At quis effari poterit, quo tandem honore, quo præſidio, qua tutela Cretam Dei prouidentia cōmunierit præ cæteris Græcorum Prouincijs? Ipſe enim mirabilium opifex, qui firmauit terrā ſuper aquas, qui Regna excitat, & coronas largitur, & vocat quæ non ſunt vt ea quæ ſunt, vrbem extulit æmulam Paradiſi, quin & Paradiſo mirabiliorem. is enim cum terreſtris eſſet, pulcherrimis plātarum ordinibus ad ſummam voluptatem conſitus erat; ſed glorioſiſſima Venetorum vrbs & aquis ſupernatat, & defixa eſt: imperat vt imminens Regina mari, & continentem habet ſuis ſceptris morigeram. Admirentur eam, qui ſolo nomine celebrata ſeptem Mundi miracula memorant; illis fama peperit rumorem, hanc & naturæ viribus & artis prętantior excellētia decorat. mirentur ſitus nouitatem, & inſuetum fundamenti genus, magnitudinem, pulchritudinem, ædificiorum ſplendorem, porticus, ambulationes, innumeras canalium flexiones & contortiones, pontes affabre elaboratos,

cos, plateàrũ varietatẽ, templorũ innumerabiliũ magnificã amplitudinẽ, sacrarũ turrium inter nubes cacumina: omnia tã excellẽter perpolita, vt Vrbs procul illã inspectantibus non labore operariorũ fabrefacta, sed elegãtissimo pictorum penicillo lineata videatur. Mirentur officinam cunctarum artium, & dædalas artificum manus, vænalium copiã, vndique importatum cõmeatum, scaphularum examina circumnauigantium, domesticam ciuium nobilitatem, peregrinam inquilinorum probitatẽ; amplissimum illud instructissimumque nauale, quod vno angulo numerosissimã Xerxis absorberet classem. quid multa? mirentur Vrbem emporiorum metropolim, Heroum splendidissimo Senatu fulgentem, natiuo Imperio radiantem; Virginem intactã, nullius vnquam iugo edomitam, parentem legum, Iustitiæ sedem, libertatis Asylum, Italiæ oculum; cuius sub Leoninis alis quiescere fidelissimos Cretæ populos Dei prouidentia iussit, cæteris Græciæ Prouincijs à Dracone Thracio exsorptis. Quippe inuictissimus Leo serenissimi tutela Imperij non timet vrsos & pardos; sed mirum in modum supra expressas olim visis & somnijs potentissimorum Regnorum vires

ρας ἔντεχνον, τὸ ἐν ἀγοραῖς ποικίλον, τῶν ἱερῶν τὸ πλῆθος καὶ μέγεθος, τῶν πυργοδόμων τὸ ὕψος. ἅπαντα ἐς τὸ γλαφυρώτατον ἐκτετορνευμένα, ὥστε ἄποθεν θεωμένοις δοκεῖν τὴν πόλιν οὐ βαναύσων χερσὶν ἐκπεποιημένην, ἀλλὰ ζωγράφων παισὶν θαυμαστῶς ἐξηκριβωμένην. Θαυμαζέτωσαν τὸ πολύτεχνον, μᾶλλον δὲ πάντεχνον καὶ δαιδαλόπονον τῶν χειροτεχνῶν, τὴν ἀφθονίαν τῶν ὠνίων, τὰ πάντοθεν εἰσαγώγιμα σιτία, τῶν εἰσπλεόντων καὶ ἐκπλεόντων σκαφιδίων τὸ παμπληθές, τῶν οἰκητόρων τὸ εὐγενές, τῶν μετοίκων καὶ παρεπιδήμων τὸ σεμνοπρεπές· τὸ μέγα καὶ περιβόητον ἐκεῖνο νεώριον, ἐνῷ καὶ ὁ μυριόναυς τοῦ Ξέρξου στόλος ἦν ἂν ὀλίγος. καὶ συνελόντι φάναι, θαυμαζέτωσαν πόλιν τῶν ἐμπορείων μητρόπολιν, γερουσίᾳ σεμνυνομένην ἡρωϊκῇ, βασιλείᾳ τετιμημένην ἀρχαιοπρεπεῖ, παρθένον ἀμίαντον ζυγῷ ἀλλοτρίῳ μηδέποτε καταδουλωθεῖσαν· τὴν μητέρα τῶν νόμων, τὴν ἕδραν τῆς δικαιοσύνης, τὸ ἄσυλον τῆς ἐλευθερίας, τὸν ὀφθαλμὸν Ἰταλίας, ἧς ὑπὸ ταῖς λεοντείαις πτέρυξιν φρουρεῖσθαι τὸ θεῖον προσέταξε τὴν θεοφιλῆ Κρήτην, τῆς λοιπῆς Ἑλλάδος ὑπὸ τοῦ Θρακίου δράκοντος καταποθείσης. ὁ γὰρ βασιλικώτατος Λέων, ὁ προμαχιστὴς καὶ ὑπέρμαχος τῆς γαληνοτάτης πολιτείας οὐ δέδιεν ἄρκτους καὶ παρδάλεις, ἀλλ' ὑπὲρ τὰς ἐπιτεθείσας ποτὲ βασιλείας διδυ-

δίδωσι τὸ μόνιμον καὶ εὐσταθὲς, καὶ διαιωνίζον ἐν θαύμασιν. οὕτω δὴ καὶ ὑπὲρ τὴν ἀρχαίαν αὐτῆς εὐδαιμονίαν ἡ Κρήτη λαμπρύνεται. καὶ ἡ πάλαι λῃστῶν ὑπὸ Ῥωμαίοις γενομένη προσφύγιον, καὶ λῃσταῖς ἑσπερίοις ἀσεβὲς οἰκητήριον, ἔχει νῦν τὴν πάτριον ἐλευθερίαν τῆς πρὶν αὐτονομίας αἱρετωτέραν. ἥδεται γὰρ, καὶ χαίρει, καὶ τρυφᾷ τοῖς περιφανεστάτοις ἀεὶ τῶν Ενετῶν μεγιστάνων Κόσμοις διοικουμένη. οἷον ἔχει σε καὶ νῦν Κόσμον ἀληθῆ καὶ κοσμήτορα τῆς ὑπερκειμένης ἀρχῆς Φραγκίσκε Μωλῖνε. μῶλυ γὰρ ὄντως ἐπὶ τῆς ψυχῆς τῇ κακίᾳ φέρεις ἀντίθετον. οὐδὲ γὰρ ἔχεις ὡς οἱ πολλοὶ ψιλὴν τοῦ αἵματος τὴν εὐγένειαν, οὐδέ σε γυμνὰ κοσμεῖ τῆς πατρίδος καὶ τῶν προγόνων τὰ θαυμαζόμενα. ἀλλ' ἦσθά τις ἀρετὴ ζῶσα, καὶ ἔμψυχος δικαιοσύνης εἰκών· φρονήσει μὲν τῇ ἡγεμονικωτάτῃ διαπρέπων· σωφροσύνην δὲ τοσαύτην ἐπιδεικνύμενος, ὡς θαυμάζειν σου πάντας τὴν ἐπιείκειαν. καὶ οἱ μὲν κακοῦργοι δικαστὴν σε ἀδέκαστον φεύγουσιν, οἱ δὲ πρῴην ἀδικούμενοι ἤπιον πατέρα προσαγορεύουσιν, λαῶν ποιμένα προσηνέστατον, εἰρήνης κουροτρόφου βραβευτὴν ἀκριβέστατον, τὰ πρὸς Θεὸν εὐσεβέστατον, τὰ πρὸς τὸ ὑπήκοον θυ-

μη-

vires fixam, ſtabilem, & numquam perituram dat Cretę quietem. ita poſtrema felicitas antiquam ſuperauit felicitatem: & Creta ſub Romanis Principibus prædonum piratarumque olim perfugium, & arx barbaræ Heſperiorum impietatis, patria libertate nunc fruitur: quæ beatiorem facit, quàm ſuis vtens legibus dum nulli parebat. hoc enim illi ſummum gaudium, ſumma voluptas, & deliciarum cumulus, ſuorum loco Coſmorum Venetos habere primores quorum pio numine regatur. Talis tu illi nunc affulges Franciſce Moline Proconſularium faſcium ingens ornamentum. Moly enim homericum in animo g[illegible], quod cuncta vitia propulſat. ſiquidem te non nuda generis facit illuſtrem nobilitas, non Patriæ dignitas, & claritas antiqua maiorum; ſed viuum ipſe es virtutis ſimulacrum, & animata imago iuſtitiæ: regina virtutum prudentia ſpectatiſsimus: tanta temperantia & moderatione conſpicuus, vt in ore omnium verſeris. facinoroſi quique incorrupta tua formidant iudicia; qui vero opprimebantur, parentem te clementiſsimum vocant; populorum paſtorem amantiſsimum, publicæ pacis conciliatorem exquiſitiſsimum, Religionis obſeruantiſſimum, cunctis ordinibus acceptiſſimum, mille ſtemmatibus deco-

ran-

randum. Auream ego hanc tibi necto coronam, & præconis instar pronuncio: Franciscum Molinum & præsentem Creta dignis laudibus in cælum effert; & absenti nunquam interituras gratiarum actiones pollicetur.

μηρέσαιτο. ἀξίως δ᾽ ἐγκωμίων στέφανον. ἐγὼ δέ σοι χρυσοῦν τοῦτον πλέξας στέφανον ἀναγορεύω· Φραγκίσκον τὸν Μωλῖνον ἡ θαυμασία Κρήτη καὶ παρόντα δ᾽ ἐφημεῖ, καὶ ἀπόντι χαριστήριον ὕμνον εἰς τὸ διηνεκὲς ἐπαγγέλλεται.

FINIS.

ΤΕΛΟΣ.



